February 25 - **Matthew 15:10-20**

**Purity of Heart**

| | |
|---|---|
| 10 Καὶ προσκαλεσάμενος τὸν ὄχλον εἶπεν αὐτοῖς Ἀκούετε καὶ συνίετε· | 10 He summoned the multitude, and said to them, "Hear, and understand. |
| 11 οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος τοῦτο κοινοῖ τὸν ἄνθρωπον. | 11 That which enters into the mouth doesn't defile the man; but that which proceeds out of the mouth, this defiles the man." |

| | |
|---|---|
| 12 Τότε προσελθόντες οἱ μαθηταὶ λέγουσιν αὐτῷ Οἶδας ὅτι οἱ Φαρισαῖοι ἀκούσαντες τὸν λόγον ἐσκανδαλίσθησαν; | 12 Then the disciples came, and said to him, "Do you know that the Pharisees were offended, when they heard this saying?" |
| 13 ὁ δὲ ἀποκριθεὶς εἶπεν Πᾶσα φυτεία ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος ἐκριζωθήσεται. | 13 But he answered, "Every plant which my heavenly Father didn't plant will be uprooted. |
| 14 ἄφετε αὐτούς· τυφλοί εἰσιν ὁδηγοί· τυφλὸς δὲ τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον πεσοῦνται. | 14 Leave them alone. They are blind guides of the blind. If the blind guide the blind, both will fall into a pit." |

| | |
|---|---|
| 15 Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ Φράσον ἡμῖν τὴν παραβολήν. | 15 Peter answered him, "Explain the parable to us." |
| 16 ὁ δὲ εἶπεν Ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε; | 16 So Jesus said, "Do you also still not understand? |
| 17 οὐ νοεῖτε ὅτι πᾶν τὸ εἰσπορευόμενον εἰς τὸ στόμα εἰς τὴν κοιλίαν χωρεῖ καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται; | 17 Don't you understand that whatever goes into the mouth passes into the belly, and then out of the body? |

| | |
|---|---|
| 18 But the things which proceed out of the mouth come out of the heart, and they defile the man. | 18 τὰ δὲ ἐκπορευόμενα ἐκ τοῦ στόματος ἐκ τῆς καρδίας ἐξέρχεται, κἀκεῖνα κοινοῖ τὸν ἄνθρωπον. |
| 19 For out of the heart come forth evil thoughts, murders, adulteries, sexual sins, thefts, false testimony, and blasphemies. | 19 ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί, φόνοι, μοιχεῖαι, πορνεῖαι, κλοπαί, ψευδομαρτυρίαι, βλασφημίαι. |
| 20 These are the things which defile the man; but to eat with unwashed hands doesn't defile the man." | 20 ταῦτά ἐστιν τὰ κοινοῦντα τὸν ἄνθρωπον, τὸ δὲ ἀνίπτοις χερσὶν φαγεῖν οὐ κοινοῖ τὸν ἄνθρωπον. |







English text: World English Bible (public domain) Greek text: Westcott-Hort Greek New Testament (public domain)
Graphics: Copyright Stéphane Tibi and his licensors. All rights reserved. www.studymaps.org